ἁρμονικούς, εὐφυεῖς, ποιητικούς, φιλομούσους, φιλοκάλους, χρηστοήθεις, ἀπολαυστικούς, ζυφόρους, εὐφροσύνους, φιλοσόφους, φιλοφίλους, εὐσεβεῖς, συνετούς, πολυμηχάνους, διανοητικούς, εὐεπιβόλους, κατορθωτικούς, ταχυμαθεῖς, φιλομαθεῖς, αὐτοδιδάκτους, ζηλωτὰς τῶν ἀρίστων, ζηλωτὰς τῶν καλῶν, εὐνόμους, καὶ ἐπιχαρίτους περὶ λόγω ἐρασμίους, εὐαρμόστους τοῖς ἤθεσι, σπουδαίους, φιλάθλους, κριτικούς, μεγαλόφρονας. τῶν δὲ ἀφροδισίων, πρὸς μὲν τὰ γυναικεῖα, φυλακτικούς, πρὸς δὲ τὰ παιδικὰ, μᾶλλον κεκινημένους, καὶ ζηλοτύπους. ἐπὶ δὲ τῆς ἐναντίας, ἐπιθέτας, πολυμηχάνους, κακοσόφους, ἀλλοπροσάλλους, κακογνώμονας, ἐξαπατητὰς, κυνικτὰς, ψεύστας, διαβόλους, ἐπιόρκους, βαθυπονήρους, ἐπιβουλευτικούς, ἀσυνθέτους, ἀσυνδεξιάστους, νοθευτὰς, γυναικῶν διαφθορέας καὶ παίδων. ἔτι δὲ καλλωπιστὰς, ὑπομαλακούς, κακολόγους, κακοφήμους, πολυθρυλλήτους, παντοπράκτας, καὶ ἐνίοτε μὲν τῷ διαφθορᾷ τὰ τοιαῦτα ὑποκρινομένους, ἐνίοτε δὲ, καὶ ταῖς ἀληθείαις διατιθεμένους τε, καὶ αἰσχροποιοῦντας, καὶ ποικίλοις πάθεσιν ὑβριζομένους. ὁ δὲ τοῦ ☿ ἀστὴρ μόνος τὴν οἰκοδεσποτίαν λαβὼν τῆς ψυχῆς, ἐπὶ μὲν ἐνδόξου διαθέσεως, ποιεῖ τοὺς γεννωμένους, συνετοὺς, ἀγχίνους, νοήμονας, πολυΐστορας, εὑρετικοὺς, ἐμπείρους, λογιστικοὺς, εὐσόχους, φυσιολόγους, εὐφυεῖς, ζηλωτικοὺς, εὐεργετικοὺς, ἐπιλογιστικοὺς, εὐστόχους, θεωρητικοὺς, μαθηματικοὺς, μυστηριακοὺς, ἐπιτευκτικούς. ἐπὶ δὲ τῆς ἐναντίας, πανούργους, προπετεῖς, ἐπιλήσμονας, ὁρμητικὰς, κούφους, εὐμεταβόλους, μεταμελητικοὺς, μωροκάκους, ἄφρονας, ἁμαρτωλοὺς, ψεύστας, ἀδιαφόρους, ἀστάτους, ἀπίστους, πλεονέκτας, ἀδίκους, καὶ ὅλως σφαλεροὺς τε τῇ διανοίᾳ, καὶ καταφόρους τοῖς ἁμαρτήμασι. τούτων δὲ οὕτως ἐχόντων συμβάλλεται μέντοι καὶ αὐτῆς τῆς ☾ κατάστασις. ἐπειδήπερ ἐν μὲν τοῖς ἐπικαμπίοις τυγχάνουσα, τοῦ τε νοτίου καὶ τοῦ βορείου πέρατος, συνεργεῖ τοῖς τῆς ψυχῆς ἰδιώμασιν, ἐπὶ τὸ πολυτροπώτερον, καὶ τὸ πολυμηχανώτερον. καὶ ἐπὶ τὸ εὐμεταβολώτερον, ἐπὶ δὲ τῶν συνδέσμων, ἐπὶ τὸ ὀξύτερον, καὶ πρακτικώτερον, καὶ εὐκινητότερον. ἐπὶ δὲ ἐν ταῖς ἀνατολαῖς, καὶ ταῖς τῶν φώτων αὐξήσεσιν, ἐπὶ τὸ εὐφυέστερον, καὶ προφανώτερον, καὶ βεβαιότερον καὶ παρρησιαστικώτερον, ἐν δὲ τοῖς οἰκειώσεσι τῶν φώτων, ἢ ταῖς κρύψεσιν, ἐπὶ τὸ νωχελέστερον, ἀμβλύτερον, καὶ μεταμελητικώτερον, καὶ εὐλαβέστερον, καὶ ἀνεπιφανέστερον. συμβάλλεται δὲ καὶ ὁ ἥλιος συνοικειωθεὶς πως περὶ τῆς

☿